# TEZAUR LITURGIC

## 7 SEPTEMBRIE

## HARALAMBOS BOUSIA

# SLUJBA SF.CUVIOASE CASIANA IMNOGRAFA DE LA CONSTANTINOPOL

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 07 ΣΕΠΤΕΜΒΡΙΟΣ

# ΜΝΗΜΗ ΤΗΣ ΟΣΙΑΣ ΚΑΣΣΙΑΝΗΣ ΤΗΣ ΥΜΝΟΓΡΑΦΟΥ

# ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρος. Χαραλάμπους Μ. Μπούσια**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, εις το Κύριε εκέκραξα, ιστώμεν στίχους δ’ , και ψάλλομεν τα εξής Προσόμοια. Ήχος δ’ . Έδωκας σημείωσιν.

Μήτερ θεοφώτιστε, Κασσιανή αξιάγαστε, παρθενίας κειμήλιον, τρωθείσα τω έρωτι, του επουρανίου, σου σεπτού Νυμφίου, ηρνήσω πρόσκαιρον τρυφήν, και δόξαν ρέουσαν και επίκηρον, διο και κατηξίωσαι, της ουρανίου λαμπρότητος, υπέρ πάντων πρεσβεύουσα, Ιησού των τιμώντων σε.

Τήξασα την σάρκα σου, σκληραγωγίας παλαίσμασι, την ψυχήν σου εκόσμησας, σεπτών αναβάσεων, θείοις μαργαρίταις, και του Παρακλήτου, κατοικητήριον λαμπρόν, αυτήν ποιήσας, συνήφθης χαίρουσα, τω ποθεινώ Νυμφίω σου, Κασσιανή θεοδόξαστε, εκτενώς Ον ικέτευε, υπέρ πάντων υμνούντων σε.

Εύας της προμήτορος, απάτην άναξ Θεόφιλος, προ της σης ωραιότητος, αναλογισάμενος, έκραξε τα φαύλα, άπαντα ερρύη, εκ γυναικός Κασσιανή, συ δε ηρέμα, ευστόχως έφησθα, αλλα και

πάντα κρείττονα, εκ γυναικός βρύει Δέσποιναν, την αγνήν αειπάρθενον, Μαριάμ ζωγραφήσασα.

Δέξαι των δακρύων σου, πηγάς παντάναξ κατέγραψας, ο νεφέλαις τα ύδατα, θαλάσσης πανεύφημε, μήτερ διεξάγων, και προς της καρδίας, κάμφθητί μοι τους στεναγμούς, ο τη αφάτω κλίνας κενώσει σου, τους ουρανούς Θεάνθρωπε, Κασσιανή παμμακάριστε, αηδών καλλικέλαδε, Εκκλησίας του Κτίσαντος.

Δόξα. Ήχος β' .

Την ποθούσαν καταφιλήσαι, τους αχράντους του Κυρίου πόδας, και αποσμήξαι τούτοις αύθις, τοις βοστρύχοις της αυτής κεφαλής ως πόρνη πάλαι, Κασσιανήν την Οσίαν ευφημήσωμεν. Πτωχοίς γαρ την ουσίαν αυτής διανείμασα, εν προσευχαίς και νηστείαις σχολάζουσα, τον βίον διήλθεν άπαντα ενασκουμένη. Διο νυν ως παρθένος ακήρατος, και νύμφη πάγκαλος του Παμβασιλέως Χριστού, τους άνω οικεί νυμφώνας, πρεσβεύουσα διηνεκώς υπέρ των υμνούντων, την μνήμην αυτής την πάντιμον.

Και νυν. Προεόρτιον.

Η προορισθείσα παντάνασσα Θεού κατοικητήριον, εξ ακάρπου σήμερον νηδύος προήκται, της Άννης ηγλαϊσμένης, της αϊδίου ουσίας το θείον τέμενος· δι ἧς ιταμός Άδης καταπεπάτηται, και παγγενή Εύα εν ασφαλεί ζωή εισοικίζεται· ταύτη επαξίως εκβοήσωμεν, Μακαρία συ εν γυναιξί, και ο καρπός της κοιλίας σου ευλογημένος.

Απόστιχα. Ήχος β' . Οίκος του Εφραθά.

Έδραμον εις οσμήν, των μύρων Σου Χριστέ μου, Κασσιανή βοώσα, τοις ίχνεσιν ασκήσει, Αυτού κατηκολούθησας.

Στ.: Υπομένων, υπέμεινα τον Κύριον, και προσέσχε μοι, και εισήκουσε της φωνής της δεήσεώς μου.

Χαίροις Κασσιανή, Χριστού των υμνηπόλων, γλυκύλαλον στρουθίον, το καταννύσον πάντας, πιστούς τοις σοις ποιήμασι.

Στ.: Και έστησεν επί πέτραν τους πόδας μου, και κατεύθυνε τα διαβήματά μου.

Λύρα Κασσιανή, του Πνεύματος του θείου, σοις πράξεσι και λόγοις, τα κρείττονα διδάσκεις, πιστών ταις ομηγύρεσι.

Δόξα. Τριαδικόν.

Μέμνησο αγαθή, Θεότης Τρισαγία, των Σε δοξολογούντων, εις πάντας τους αιώνας, Κασσιανής εντεύξεσιν.

Και νυν. Θεοτοκίον.

Άσπιλε Μαριάμ, Κασσιανής πρεσβείαις, Υιού Σου θείου νύμφης, αγνείας μοι την τρίβον, την σωστικήν υπόδειξον.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος πλ. α' . Τον συνάναρχον Λόγον.

Βασιλέως γηΐνου τον πόθον έρωτος, υπεριδούσαν εμφρόνως, Κασσιανήν ευκλεή, δι' αγάπην του Παντάνακτος υμνήσωμεν, ως αρετής υπογραμμόν, και ποιήτριαν σεπτήν,ασμάτων αναβοώντες· της Βασιλείας ευχαίς σου, Θεού ημάς μετόχους ποίησον.

Δόξα. Και νυν. Προεόρτιον. Ήχος δ’ . Κατεπλάγη Ιωσήφ.

Εκ της ρίζης Ιεσσαί, και εξ οσφύος του Δαυΐδ, η θεόπαις Μαριάμ, τίκτεται σήμερον ημίν· διο και χαίρει η σύμπασα και καινουργείται, συγχαίρει τε ομού, ο ουρανός και η γη. Αινέσατε αυτήν αι πατριαί των εθνών, Ιωακείμ ευφραίνεται, και Άννα πανηγυρίζει κραυγάζουσα· Η στείρα τίκτει, την Θεοτόκον, και τροφόν της ζωής ημών.

Απόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα, ιστώμεν στίχους στ , και ψάλλομεν τα εξής Πρόσομοια. Ήχος α . Των ουρανίων ταγμάτων.

Κασσιανήν την Οσίαν ανευφημήσωμεν, εν νουθεσία θεία, και παιδεία, τραφείσαν, και πόνοις νυχθημέροις ασκητικοίς, εαυτήν εκκαθάρασαν, και δεξαμένην θεόθεν μαρμαρυγάς, δαψιλώς του θείου Πνεύματος.

Της Βασιλίδος το θρέμμα πασών των πόλεων, την ευδοκία άκρα, της Παρθένου τεχθείσαν, την εύγλωττον ωραίαν και ευγενή, Ικασίαν τιμήσωμεν, ως αναλάμψασαν κόσμω ασκητική, αγωγή και θεία χάριτι.

Ως υμνηπόλον Οσίαν λύραν του Πνεύματος, και λιγυράν κινύραν, αρετών θεαρέστων, τιμήσωμεν εμφρόνως Κασσιανήν, Θεοφίλου του

άνακτος, αρνησαμένην τον έρωτα ευθαρσώς, δι’ αγάπην του Παντάνακτος.

Εν τοις σπηλαίοις της Κάσσου σεμνώς ασκήσασαν, Κασσιανήν Οσίαν, εγκρατείας πυξίον, και άσπιλον αγνείας περιστεράν, ευσχημόνως τιμήσωμεν, ώσπερ λυχνίαν γυναίων μοναζουσών, χρυσαυγή και θεοφώτιστον.

Την παριδούσαν το κάλλος σαρκός φθειρόμενον, δια Χριστού το κάλλος, το αμήχανον όντως, και άφθαρτον Οσίαν Κασσιανήν, οι πιστοί μελωδήσωμεν, βοώντες· πρέσβευε μήτερ διηνεκώς, υπέρ πάντων των προσφύγων σου.

Ποδών του άνακτος κρότον εν τω κελλίω σου, Κασσιανή παμμάκαρ, τοις ωσίν ηχηθείσα, εκρύβης ώσπερ Εύα το δειλινόν, εν Εδέμ του Παντάνακτος, ου δια φόβον Οσία παρακοής, αλλ’ ως έκφρασιν σεμνότητος.

Δόξα. Ήχος πλ. β’ .

Την ταπεινώσει πολλή εαυτήν οιομένην, εν πολλαίς αμαρτίαις περιπεσούσαν, και του Κυρίου επιζητούσαν το έλεος, Κασσιανήν την Οσίαν τιμήσωμεν. Αύτη γαρ βασιλείας γηΐνης μη δεξαμένη το χρυσότευκτον μήλον, Βασιλείας Ουρανών επέτυχε δι’ αγώνος αρίστου, και αγωγής φιλοθέου και σώφρονος. Και νυν συν τω κλίναντι τους ουρανούς, τη αφάτω Αυτού κενώσει ευφραινομένη, αδιαλείπτως πρεσβεύει ημίν καταπέμψαι, το Αυτού πλούσιον και άμετρον έλεος.

Και νυν. Προεόρτιον.

Σήμερον, ο τοις νοεροίς θρόνοις επαναπαυόμενος Θεός, θρόνον άγιον επί γης εαυτώ προητοίμασεν, ο στερεώσας εν σοφία τους ουρανούς, ουρανόν έμψυχον, εν φιλανθρωπία κατεσκεύασεν· εξ ακάρπου γαρ ρίζης, φυτόν ζωηφόρον, εβλάστησεν ημίν την Μητέρα αυτού, ο των θαυμασίων Θεός, και των ανελπίστων ελπίς, Κύριε δόξα σοι.

Είσοδος. Φως ιλαρόν. Το Προκείμενον της ημέρας και τα Αναγνώσματα.

Παροιμιών το Ανάγνωσμα (Κεφ. κε , 2-12)

Δόξα Θεού κρύπτει λόγον, δόξα βασιλέως τιμά πράγματα. Ουρανός υψηλός, γη δε βαθεία, καρδία δε βασιλέως ανεξέλεγκτος. Τύπτε αδόκιμον αργύριον και καθαρισθήσεται καθαρόν άπαν, κτείνε ασεβείς εκ προσώπου βασιλέως και κατορθώσει εν δικαιοσύνη ο θρόνος αυτού. Μη αλαζονεύου ενώπιον βασιλέως, μηδέ εν τόποις δυναστών υφίστασο. Κρείσσον γαρ σοι το ρηθήναι, ανάβαινε προς με η ταπεινώσαί σε εν προσώπω δυνάστου. Α είδον οι οφθαλμοί σου λέγε. Μη πρόσπιπτε εις μάχην ταχέως, ίνα μη μεταμεληθής επ’ εσχάτων. Ηνίκα αν σε ονειδίση ο σος φίλος, αναχώρει εις τα οπίσω μη καταφρόνει, μη σε ονειδίση μεν ο φίλος, η δε έχθρα ουκ απέσται αλλά έσται σοι ίση θανάτω. Χάρις και φιλία ελευθεροί, ας τήρησον σεαυτώ, ίνα μη επονείδιστος γένη, αλλά φύλαξον τας οδούς σου ευσυναλλάκτω. Μήλον χρυσούν εν

ορμίσκω σαρδίου, ούτως ειπείν λόγον. Εις ενώτιον χρυσούν και σάρδιον πολυτελές, δέδεται. Λόγος σοφός, εις ευηκοον ους.

Παροιμιών το ανάγνωσμα (31,10-20)

Γυναίκα ανδρείαν τις ευρήσει; τιμιωτέρα δε εστι λίθων πολυτελών η τοιαύτη, θαρσεί επ' αυτή η καρδία του ανδρός αυτής, η τοιαύτη καλών σκύλων ουκ απορήσει· ενεργεί γαρ τω ανδρί εις αγαθά πάντα τον βίον. Μηρυομένη έρια και λίνον, εποίησεν εύχρηστα ταις χερσίν αυτής. Εγένετο ωσεί ναυς εμπορευομένη μακρόθεν, συνάγει δε αυτής τον πλούτον, και ανίσταται εκ νυκτών και έδωκε βρώματα τω οίκω και έργα ταις θεραπαίναις· θεωρήσασα γεώργιον επρίατο, από δε των καρπών των χειρών αυτής κατεφύτευσε κτήμα. Αναζωσαμένη ισχυρώς την οσφύν αυτής, ήρεισε τους βραχίονας αυτής εις έργον. Εγεύσατο, ότι καλόν εστι το εργάζεσθαι, και ουκ αποσβέννυται ο λύχνος αυτής όλην την νύκτα. Τους πήχεις αυτής εκτείνει επί τα συμφέροντα, τας δε χείρας αυτής ερείδει εις άτρακτον. Χείρας αυτής διήνοιξε πένητι, καρπόν δε εξέτεινε πτωχώ, ου φροντίζει των εν οίκω ο ανήρ αυτής, όταν που χρονίζη· πάντες γαρ οι παρ' αυτή ενδεδυμένοι εισί. Διττάς χλαίνας εποίησε τω ανδρί αυτής, εκ δε βύσσου και πορφύρας εαυτή ενδύματα, περίβλεπτος δε γίνεται ο ανήρ αυτής εν πύλαις, ηνίκα αν καθίση εν συνεδρίω μετά των πρεσβυτέρων και κατοίκων της γης. Σινδόνας εποίησε, και απέδοτο τοις Φοίνιξι και περιζώματα τοις Χαναναίοις. Ισχύν και ευπρέπειαν ενεδύσατο, και ευφράνθη εν ημέραις εσχάταις.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. 4, 7-15)

Δίκαιος εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται· γήρας γαρ τίμιον, ου το πολυχρόνιον, ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις, και ηλικία γήρως, βίος ακηλίδωτος. Ευάρεστος Θεώ γενόμενος, ηγαπήθη, και ζων μεταξύ αμαρτωλών, μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού, η δόλος απατήση ψυχήν αυτού. Βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω, επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Εις την Λιτήν, ιδιόμελα. Ήχος α’ .

Ασκητική διαπρέψασα πολιτεία, πνευματικών χαρισμάτων ηξιώθης, παρά του δοτήρος των καλών και σου Νυμφίου, Κασσιανή παναοίδιμε. Προθύμως γαρ Αυτώ, ηκολούθησας, αρνησαμένη σεαυτήν, και την στενήν τρίβον βαδίσασα, ως Άγγελος εν Βυζαντίω και Κάσσω ασκήσει εβίωσας. Διο Αγγέλων συνόμιλος εν ουρανοίς εγένου, της αγήρω μακαριότητος λαβούσα το στέφος, μεθ’ ων Κυρίω πρεσβεύεις, υπέρ των ψυχών ημών.

Ήχος β’ .

Του Θεοφίλου το χρυσούν μη λαβούσα μήλον, μήλων ευωδεστάτων εν ουρανοίς ηξιώθης τρυφήσαι, ζωής αλήκτου

Κασσιανή Οσία. Θεώ γαρ εκ νεότητος αφιερωθείσα,και τον έρωτα του άνακτος αποπτύσασα, δώρον τω Παντάνακτι Χριστώ σον βίον προσήνεγκας. Βασιλικώ ουν περιβληθείσα ενδύματι εν πόλω, και βασιλικής παστάδος αξιωθείσα, εκτενώς πρεσβεύεις υπέρ των τιμώντων σε.

Ήχος γ' .

Τω Κυρίω εν ησυχία δουλεύσασα, και Αυτώ νυχθημερόν προσομιλούσα, υμνηπόλου χάριν είληφας, Κασσιανή σκεύος της χάριτος, θεοκινήτω σου γαρ γραφίδι, μελισταγή συνέθεσας άσματα μακαρία, κατανύσσοντα εις τους αιώνας τας καρδίας ευσεβοφρόνων. Και νυν των πόνων σου τους καρπούς δρεπομένη, αδιαλείπτως ικέτευε τω σω ποθεινώ Νυμφίω, ελεήσαι και σώσαι τους σε μακαρίζοντας.

Ήχος δ' .

Τους εκ βάθους ψυχής σου αναβαίνοντας ύμνους, προς τον σον Νυμφίον δάκρυσιν αειρρύτοις συνώδευες, κρουνηδόν εξερχομένοις εκ των οφθαλμών σου, Κασσιανή λογιωτάτη, έχουσα γαρ τον νουν σου εν ουρανώ προσηλωμένον, και τον Δεσπότην Κύριον νοερώς ατενίζουσα, δύναμιν και θάρρος ήντλεις, του βίου το πέλαγος αφόβως διαπλεύσαι, αρεταίς ουν κεκοσμημένη, προς Κύριον απήλθες Ον εκ βρέφους ηγάπησας, και δι' ον βασίλειον απηρνήσω δόξαν, πρεσβεύουσα υπέρ των τιμώντων, την πάνσεπτον μνήμην σου.

Δόξα. Ήχος ο αυτός.

Την κριμάτων άβυσσον και αμαρτιών τα πλήθη, τω καρδιογνώστη Κυρίω αποθέτουσα, και παρ’ Αυτού λαβούσα την ψυχότροφον άφεσιν, Κασσιανήν οι πιστοί μακαρίσωμεν κράζοντες· δούλη Χριστού και αμνάς Αυτού άμεμπτε και πάγκαλε, των αλόγων παθών ημάς απάλλαξον λιταίς σου απαύστοις, και τη ελλόγω συναρίθμησον αγέλη, των σωζομένων προβάτων σου πρόσφυγας.

Και νυν. Προεόρτιον.

Η παγκόσμιος χαρά, εκ των δικαίων ανέτειλεν ημίν, εξ Ιωακείμ και της Άννης, η πανύμνητος Παρθένος· ήτις δι ὑπερβολὴν καθαρότητος, ναός Θεού έμψυχος γίνεται,και μόνη κατά αλήθειαν, Θεοτόκος γνωρίζεται. Αυτής ταις ικεσίαις Χριστέ ο Θεός, τω κόσμω την ειρήνην κατάπεμψον, και ταις ψυχαίς ημών το μέγα έλεος.

Εις τον Στίχον. Ήχος πλ. α’ . Χαίροις ασκητικών.

Χαίροις, η τα του βίου τερπνά, ηγησαμένη πάντα κόνιν και σκύμβαλα, και άρασα επί ώμων, τον του Κυρίου ζυγόν, ίχνεσι ου πόθω, ηκολούθησας, γυναίων υπόδειγμα,ασκουμένων και χάριτος, μυροδοχείον, τους Αγγέλους αρχέτυπον, εν τω βίω σου, τω βροτείω η έχουσα, Κασσιανή πανύμνητε, διο σε γεραίροντες, και την αγίαν σου μνήμην, επιτελούντες εν άσμασι, προβάλλομεν θείαν, σε μεσίτριαν προς Κτίστην, Χριστόν και πρέσβειραν.

Στ.: Υπομένων, υπέμεινα τον Κύριον, και προσέσχε μοι, και εισήκουσε της φωνής της δεήσεώς μου.

Μη με, παρίδης δούλην την σην, ο έχων μέγα και αμέτρητον έλεος, εκραύγαζες τω Κυρίω, Κασσιανή εκλεκτή, γυναικών Οσίων, εγκαλλώπισμα, κριμάτων αβύσσους μου, και πληθύν αμαρτάδων μου, Σώτερ του κόσμου, ο γινώσκων Φιλάνθρωπε, αλλά πρόσδεξαι, τας πηγάς των δακρύων μου, και στεναγμούς καρδίας μου, νεφέλαις τα ύδατα, ο διεξάγων θαλάσσης, και βλύσας άπασι νάματα, ζωής αιωνίου, τοις πιστώς προσερχομένοις, κρουνώ σης χάριτος.

Στ.: Και έστησεν επί πέτραν τους πόδας μου, και κατεύθυνε τα διαβήματά μου.

Χαίροις, η των Κασσίων φρουρός, και αρωγός Κασσιανή και αντίληψις, εκτύπωμα ησυχίας, και παρθενίας αμνάς, εν της γης σπηλαίοις, η σκηνώσασα, νηστείας κειμήλιον, αρετής ενδιαίτημα, χαμαικοιτίας, βάθρον και ταπεινώσεως, ύψος άρρητον, εκδυσώπει τον Κύριον, και ποθεινόν Νυμφίον σου, ημίν πέμψαι άπασι, τοις εκτελούσι σην μνήμην, την σεβασμίαν υγείαν, και δύναμιν θραύσαι, του εχθρού του μισοκάλου, τα μηχανήματα.

Δόξα. Ήχος πλ. δ’ .

Της νυχθημέρου ασκήσεως πυρί, καταφλέξασα των παθών την άκανθαν, της απαθείας φωτοειδές ιμάτιον ημφιέσω, μήτερ φιλάρετε. Δουλαγωγούσα γαρ το χοϊκόν σου σαρκίον, εν αγρυπνίαις και κακουχίαις πλείσταις, φωτός θείου μαρμαρυγάς εδέξω, καθαρθείσα την διάνοιαν. Και νυν Κασσιανή θεοφόρε,

αγγελικαίς συνούσα χοροστασίαις, και το κάλλος Χριστού θεωρούσα, πρέσβευε δεόμεθα υπέρ των ψυχών ημών.

Και νυν. Προεόρτιον.

Εν ευσήμω ημέρα εορτής ημών σαλπίσωμεν, πνευματική κιθάρα· η γαρ εκ σπέρματος Δαυΐδ, σήμερον τίκτεται, η Μητηρ της ζωής το σκότος λύουσα· του Αδάμ η ανάπλασις, και της Εύας η ανάκλησις, της αφθαρσίας η πηγή, και της φθοράς απαλλαγή, δι ἧς ημείς εθεώθημεν, και του θανάτου ελυτρώθημεν· και βοήσωμεν αυτή συν τω Γαβριήλ οι πιστοί· Χαίρε Κεχαριτωμένη, ο Κύριος μετά σου, δια σου, χαριζόμενος ημίν το μέγα έλεος.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος πλ. α’ . Τον συνάναρχον Λόγον.

Βασιλέως γηΐνου τον πόθον έρωτος, υπεριδούσαν εμφρόνως, Κασσιανήν ευκλεή, δι’ αγάπην του Παντάνακτος υμνήσωμεν, ως αρετής υπογραμμόν, και ποιήτριαν σεπτήν,ασμάτων αναβοώντες· της Βασιλείας ευχαίς σου, Θεού ημάς μετόχους ποίησον.

Δόξα. Και νυν. Προεόρτιον. Ήχος δ’ . Κατεπλάγη Ιωσήφ.

Εκ της ρίζης Ιεσσαί, και εξ οσφύος του Δαυΐδ, η θεόπαις Μαριάμ, τίκτεται σήμερον ημίν· διο και χαίρει η σύμπασα και καινουργείται, συγχαίρει τε ομού, ο ουρανός και η γη. Αινέσατε αυτήν αι πατριαί των εθνών, Ιωακείμ ευφραίνεται, και Άννα πανηγυρίζει κραυγάζουσα· Η στείρα τίκτει, την Θεοτόκον, και τροφόν της ζωής ημών.

Απόλυσις.

## ΟΡΘΡΟΣ

Μετά την α  στιχολογίαν,

κάθισμα. Ήχος α' . Τον τάφον Σου Σωτήρ.

Ως άδυτος αστήρ, σωστικής μετανοίας, εκλάμπουσα αεί, ευσεβών τας καρδίας, λαμπρύνεις θείω Πνεύματι, και παθών λύεις ζόφωσιν, των τιμώντων σε, Κασσιανή πανολβία.

Δόξα. Και νυν. Προεόρτιον.

Σεπτού Ιωακείμ, και θεόφρονος Άννης, εκβλάστημα λαμπρόν, Θεοτόκε Παρθένε, χαράς πάντας έμπλησον, τους πιστούς τη γεννήσει σου, ως ανάψασα, της σωτηρίας ελπίδα, τοις συστήμασι, βροτών εν χώρα θανάτου, πικρά τοις καθεύδουσι.

Μετά την β  στιχολογίαν, κάθισμα. Ήχος δ' . Ταχύ προκατάλαβε.

Ψυχής την λαμπάδα σου εν τω ελαίω σεμνή, φαιδρύνασα νήψεως και απαθείας καλώς, εις ύψος κατήντησας, του νοητού νυμφώνος, ένθα συν ταις φρονίμοις, χαίρεις αεί παρθένοις, και Χριστώ συναγάλλη, τω σω Κασσιανή ποθεινώ, μήτερ Νυμφίω σου.

Δόξα. Και νυν. Προεόρτιον.

Χαράν διεμήνυσε τοις των μερόπων χοροίς, η θεία Σου γέννησις Θεοκυήτορ Αγνή, πανύμνητε Δέσποινα, όθεν Σοι γεγηθότες, εκβοώμέν Σοι πόθω· χαίρε της σωτηρίας,η προκήρυξις κόσμου, και λύσεως θανάτου ημών, θείον προοίμιον.

Μετά τον Πολυέλεον, κάθισμα. Ήχος γ' . Την ωραιότητα.

Δέξαι δακρύων μου, πηγάς Φιλάνθρωπε, και προς καρδίας μου, τας θλίψεις κάμφθητι, ο κλίνας θόλον ουρανού, αφάτω τη ση

κενώσει, ευλαβώς εκραύγαζες, και φιλήσαι αξίωσον, τους αχράντους πόδας σου, Λυτρωτά και Νυμφίε μου, Οσίων γυναικών ωραιότητος, μήτερ Κασιανή ολβία.

Δόξα. Και νυν. Θεοτοκίον.

Την σκοτισθείσάν μου, ψυχήν καταύγασον, φωτί της χάριτος, του θείου Τόκου σου, αγνή Παρθένε Μαριάμ, ελπίς των απηλπισμένων, και αχλύν απέλασον, των απείρων πταισμάτων μου, όπως εύρω έλεος, εν τη ώρα της Κρίσεως, και πόθω ασιγήτως βοώ σοι· Χαίρε η Κεχαριτωμένη.

Οι αναβαθμοί· το α' αντίφωνον του δ' ἦχου.

Προκείμενον: Υπομένων, υπέμεινα τον Κύριον, και προσέσχε μοι, και εισήκουσε της φωνής της δεήσεώς μου.

Στ.: Και έστησεν επί πέτραν τους πόδας μου, και κατεύθυνε τα διαβήματά μου.

Ευαγγέλιον Οσιακόν (των Δέκα Παρθένων)

Ο Ν ψαλμός.

Δόξα: Ταις της Σης Οσίας...

Και νυν: Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ. β . Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Της επιγείου υπεριδούσα βασιλείας, προς ασκητικούς απεδύσω αγώνας, εν θεολήπτω ψυχή Κασσιανή αοίδιμε. Και καλώς εν Βυζαντίω και Κάσσω αγωνισαμένη, Χριστώ τω Παντάνακτι, και σω ωραΐω ουρανίω Νυμφίω ευηρέστησας. Και νυν εν τοις σκηνώμασι

περιπολεύουσα, της Ουρανίου Βασιλείας, μη παύση πρεσβεύουσα υπέρ των ανυμνούντων την μνήμην σου.

Οι κανόνες, ο Προεόρτιος της Θεοτόκου, και της Οσίας.

Της Θεοτόκου, ου η Ακροστιχίς: Γέννησιν υμνώ της θεόπαιδος Κόρης. Ιωσήφ.

Ωδή α' Ήχος δ'. Ανοίξω το στόμα μου

Γηθόμενοι σήμερον, μετ' ευφροσύνης υμνήσωμεν, το θείον γενέθλιον, της Θεομήτορος· και γαρ τέτοκε, χαράν τη οικουμένη, λύπην Προμήτορος εξαφανίσασα.

Εκ στείρας προέρχεται, της αμαρτίας η στείρωσις, ην νόμος προέγραψε, και τα κηρύγματα, προεδήλωσαν, των θείων θεηγόρων, η πάναγνος Δέσποινα, και παναμώμητος.

Ναός και παλάτιον, του Βασιλέως γεγένησαι, εν ω την κατοίκησιν αυτού ποιούμενος, οικητήριον, της Αγίας Τριάδος, πιστούς απεργάσεται ο υπερούσιος.

Νυμφών ωραιότατος, θρόνος Θεού υψηλότατος, εδείχθης Θεόνυμφε, εν ω καθίσας σαρκί, τους καθημένους, εν σκότει απωλείας, εγερεί προς γνώσεως, φως αγαθότητι.

Και ο Κανών της Οσίας, ου η ακροστιχίς: Κασσιανήν, την υμνηπόλον Οσίαν μέλπω. Χ.

Ωδή α . Ήχος δ' . Ανοίξω το στόμα μου.

Κρηπίδα σεμνότητος, και αρετών ενδιαίτημα, τρωθείσαν τω έρωτι, του Βασιλέως Χριστού, εκ νεότητος, Κασσιανήν Οσίαν, Αυτού ευφημήσωμεν, ως νύμφην πάγκαλον.

Αγγέλων ομόζηλε, Κασσιανή αξιάγαστε, αυλάρχου εκβλάστημα, Θεμιστοκλέους λαμπρόν, θείοις γράμμασι, σοφώς εξεπαιδεύθης, και ώφθης της θύραθεν, γνώσεως άγαλμα.

Συνέσεως μέλαθρον, και σωφροσύνης παλάτιον, τω πόθω κατέτρωσαι, του Βασιλέως Χριστού, εκ νεότητος, Κασσιανή Οσία, του σου θείω στέμματι, κάραν κοσμήσαντος.

Θεοτοκίον.

Σοι Μήτερ υπέραγνε, ωδήν ημείς χαριστήριον, προσφέρομεν άπαντες, οι εξ αστέκτου πυρός, της κολάσεως, ρυσθέντες Θεοτόκε, δια της κυήσεως, Τόκου του θείου Σου.

Της Θεοτόκου. Ωδή γ'. Ότι στείρα έτεκεν

Η γη η κατάκαρπος, εκ γης ακάρπου γεννάται, ήτις καρπογονήσει, τον γεωργόν των αγαθών, και ζωηφόρον άσταχυν, τον τρέφοντα πάντας θείω νεύματι.

Σήμερον εβλάστησε, της Παρθενίας η ράβδος, εξ ης ανθήσει άνθος, ο φυτουργός ημών Θεός, τα πονηρά βλαστήματα, αποτέμνων άκρα αγαθότητι.

Ίδε το αλάξευτον, όρος εκ πέτρας αγόνου, αποτεχθέν τον λίθον, καρπογονεί τον νοητόν, ος συντριβήν εργάσεται, των ξοάνων πάντων του αλάστορος.

Νόμου προχαράγματα, σε προεδήλωσαν Κόρη· τον νομοδότην συ γαρ, νομίμων δίχα εν γαστρί, κυοφορείς τηρούντά σε, υπέρ λόγον άφθορον αμίαντον.

Της Οσίας. Τους Σους υμνολόγους.

Ισχύν εκ Θεού ενδυσαμένη, ησύχως τον βίον διελθείν, νηστείαις και δεήσεσι, Κασσιανή επόθησας, και νω τελείω πάνσεμνε, προσομιλείν τω Παντάνακτι.

Αγάπη του Κτίσαντος τρωθείσα, απέστης τελείως των φθαρτών, και άπασαν ουσίαν σου, πτωχοίς διασκορπίσασα, Κασσιανή ασύλητον, εύρες εν πόλω θησαύρισμα.

Ναόν του Θεού ηγιασμένον, ποιήσασα μήτερ σεαυτήν, μετέστης προς τον πάμφωτον, ναόν και χρυσοστόλιστον, των ουρανών ευφραίνεσθαι, Κασσιανή συν τω Κτίσαντι.

Θεοτοκίον.

Ηγίασε σκήνωμα Σον θείον, ο Ύψιστος Μήτερ αγαθή, οικήσας εν τη μήτρα Σου, υπερφυώς Θεόνυμφε, ην έδειξε παλάτιον, Αυτού της δόξης χρυσότευκτον.

Κοντάκιον Προεόρτιον. Ήχος γ'. Η Παρθένος σήμερον

Η Παρθένος σήμερον, και Θεοτόκος Μαρία, η παστάς η άλυτος, του ουρανίου Νυμφίου, τίκτεται, από της στείρας θεοβουλήτως, όχημα, του Θεού Λόγου ευτρεπισθήναι· εις τούτο γαρ και προωρίσθη, η θεία πύλη, και Μήτηρ της όντως ζωής.

Ο Οίκος

Τη στειρευούση καρπός εδόθη η θεόπαις Μαρία· ην προείδον ποτέ θείοι Προφήται εν Πνεύματι· ταύτην ημείς σήμερον ορώντες, εν τοις κόλποις της Άννης σκιρτώσαν, συν τω πιστώ Ιωακείμ, νοητώς προς εστίασιν συνέλθωμεν, και τους πόρρω καλέσωμεν, λέγοντες·

Του κόσμου νυν η ανάκλησις, εξ ακάρπου γαστρός ανεβλάστησεν, η θεία πύλη, και Μήτηρ της όντως ζωής.

Κάθισμα. Ήχος γ’ . Θείας πίστεως.

Δρόσω έσβεσας, Οσίων πόνων, τα πυρίφλεκτα, σαρκός σου πάθη, και πανάμωμος Κυρίου γεγένησαι, Κασσιανή νύμφη όθεν τιμώντές σε, ως απαθείας και νήψεως έκτυπον, τας πρεσβείας σου αιτούμεθα προς τον Άγιον, Θεόν ημών και πάνσεπτον Νυμφίον σου.

Δόξα. Και νυν. Προεόρτιον.

Εορτάζοντες, την γέννησίν Σου, την υπέρλαμπρον, Θεογεννήτορ, εκ της στείρας της νηδύος τη χάριτι, του Σε Μητέρα Αυτού επιλέξαντος, εν γη γενέσθαι εν πόλω αμήτορος, ανακράζομεν· βοήθει ημίν εκάστοτε, Παρθένε τοις προστρέχουσι τη σκέπη σου.

Της Θεοτόκου. Ωδή δ' Ο καθήμενος εν δόξη

Υπερτέρα των Αγγέλων, επί γης Κόρη τίκτεται, εν αγιωσύνη, ούσα και καθάρσει ασύγκριτος, ήτις την κάθαρσιν πάντων Χριστόν τέξεται, αγιότητα, και παντελή απολύτρωσιν.

Μακαρία η κοιλία, η της Άννης γεγένηται· την γαρ εν κοιλία, μέλλουσαν χωρείν τον μακάριον, και μη χωρούμενον Λόγον, απεγέννησεν, αναγέννησιν, πάσι πιστοίς παρεχόμενον.

Νυν ο ζόφος της κακίας, εκμειούσθαι απάρχεται· η γαρ του ηλίου, έμψυχος νεφέλη ανέτειλε, στειρωτικών εκ λαγόνων, η πανάμωμος, ης την γέννησιν, την φωταυγή εορτάσωμεν.

Ως κατάκαρπον ελαίαν, την εκ ρίζης βλαστήσασαν, Ιεσσαί Παρθένε, Άννα σε βλαστάνει βλαστάνουσαν, τον ελεήμονα Λόγον, ου το έλεος, και η αλήθεια, δια παντός προπορεύεται.

Της Οσίας. Ο καθήμενος εν δόξη.

Νηφαλίως απεκρίνω, Θεοφίλω τω άνακτι, κράζοντι· ερρύη, εκ της γυναικός φαύλα άπαντα, αλλά εκ ταύτης πηγάζει και τα κρείττονα, πνευματέμφορε, Κασσιανή μήτερ πάνσοφε.

Τον ζοφώδη αμαρτίας, και ασέληνον έρωτα, Θεοφίλου σώφρον, υπερείδες έχουσα όμματα, της σης ψυχής εστραμμένα προς τον Κύριον, πάσης κτίσεως, Κασσιανή και Νυμφίον σου.

Ηχηθείσα τοις ωσί σου, Θεοφίλου του άνακτος, των ποδών τον κρότον, εν τω σω κελλίω φιλάρετε, Κασσιανή απεκρύβης την σεμνότητα, την μεγάλην σου, αυτώ δεικνύουσα ένδοξε.

Θεοτοκίον.

Νομοθέτην η τεκούσα, αληθώς Μητροπάρθενε, μόνον αμαρτίας, κόσμου αφιέναι δυνάμενον, υπέρ ημών εκδυσώπει των τιμώντων Σε, ίνα εύρωμεν, εν ώρα Κρίσεως έλεος.

Της Θεοτόκου. Ωδή ε'. Εξέστη τα σύμπαντα

Το εσφραγισμένον νυν βιβλίον αποτίκτεται, όπερ αναγνώσεται ουδόλως, φύσεως νόμω βροτός τηρούμενον, Λόγου εις κατοίκησιν καθώς, βίβλοι προεδήλωσαν, θεηγόρων εν πνεύματι.

Η άμπελος σήμερον, ετέχθη η σωτήριος, ήτις τον ακήρατον ανθήσει, βότρυν τον θείον, γλεύκος προχέοντα, εξ ου πας ο πίνων μυστικώς, θείαν και σωτήριον, ευφροσύνην καρπώσεται.

Σκιρτήσατε Άγγελοι, ανθρώποις συγχορεύοντες· σήμερον εκ στείρας η Παρθένος, αποτεχθείσα την λύπην έπαυσε, και προοιμιάζεται χαράν, τοις πανηγυρίζουσι, την αυτής θείαν γέννησιν.

Θείος προδιέγραψε, Προφήτης προδηλότατα, τόμον σε καινόν εν ω δακτύλω, Λόγος πατρώω, Κόρη γραφήσεται, βίβλω καταγράφων της ζωής, πάντας αγαθότητι, τους αυτώ πειθαρχήσαντας.

Της Οσίας. Εξέστη τα σύμπαντα.

Υμνούμέν σε άπαντες, ως υμνηπόλον ένθεον, την προσομιλούσαν τω Κυρίω, Κυρίων μόνον, Κασσιανή αγλαή, εκάστοτε στύλε αρραγές, νήψεως και έμψυχον, αρετών στηλογράφημα.

Μακρύνασα σχέσεως, προσύλου πάσης πάναγνε, ώφθης υπερόπτις των γηΐνων, διο χορεύεις, νυν συν αΰλοις χοροίς, Αγγέλων λαμπρών Κασσιανή, άγγελε επίγειε, και ουράνιε άνθρωπε.

Νηστείαις και δάκρυσι, παθών κατεκυρίευσας, περιεβάλου προθυμώτατα, στολήν Οσίαν, Κασσιανήν την χρυσήν, ην φέρουσα εις των ουρανών, τον νυμφώνα χαίρουσα, θαυμαστή εισελήλυθας.

Θεοτοκίον.

Ηνώρθωσας Δέσποινα, την πεπτωκυίαν βρότειον, φύσιν τη αφάτω Σου κυήσει, Θεογεννήτορ, και εκ θανάτου σκιας, εις φέγγος ανήγαγες ζωής, αιωνίου άπαντας, Σε πιστώς μακαρίζοντας.

Της Θεοτόκου. Ωδή ς'. Την θείαν ταύτην

Ετέχθη σήμερον γέφυρα, μετάγουσα προς φως το ανθρώπινον, κλίμαξ ουράνιος, όρος Θεού εμφανέστατον, η Θεοτόκος Κόρη ην μακαρίσωμεν.

Ο κόχλος Άννα προήγαγε, πορφύραν την το έριον βάψασαν, της σωματώσεως, του Βασιλέως εις ύστερον, ην επαξίως πάντες υμνολογήσωμεν.

Πηγή νυνί προελήλυθε, ρανίδος εκ μικράς η Πανάμωμος, ήτις την άβυσσον, της σωτηρίας κυήσασα, πολυθεΐας παύσει άπειρα ρεύματα.

Ακάρπου ρίζης εβλάστησας, και πρόρριζον κακίας την άκανθαν, τω υπέρ φύσιν σου, θείω βλαστώ εναπέτεμες, Θεογεννήτορ Κόρη αειμακάριστε.

Της Οσίας. Την θείαν ταύτην.

Παστάδος θείας ηξίωσαι, ως νύμφη του Κυρίου περίδοξος, και καλλιπάρθενος, Κασσιανή όθεν άπαντες, σε ανυμνολογούμεν, Χριστόν δοξάζοντες.

Οσίων τρίβους εβάδισας, σεμνή Κασσιανή και κατήντησας, εις ύψος άρρητον, της εν Χριστώ τελειώσεως, ένθα νυν συν Αγγέλων, ευφραίνη τάγματα.

Λαμπάς αγνείας αείφωτε, πιστούς Κασσιανή κατεφώτισας, των ποιημάτων σου, μαρμαρυγαίς και πυρσεύμασι, των τρόπων πολιτείας, της ισαγγέλου σου.

Θεοτοκίον.

Οδούς Σων δούλων κατεύθυνον, εν τω φωτί Παρθένε του Τόκου Σου, και την σκοτόμαιναν, ημων των πόνων και θλίψεων, απέλασον δυνάμει, τη παναγία Σου.

Κοντάκιον. Ήχος πλ. δ’ . Τη Υπερμάχω.

Την στολισθείσαν δια πάσης αγαθότητος, και αρετής Κασσιανήν την θεοδόξαστον, υμνηπόλον δι’ ασκήσεως νυχθημέρου, την Χριστώ τω Βασιλεί ευαρεστήσασαν, ως λαμπάδα κατανύξεως τιμήσωμεν, πόθω κράζοντες· Χαίροις μήτερ υπέρλαμπρε.

Ο Οίκος.

Άγγελοι θεωρούντες, μετανοίας σου τρόπους, σεμνή Κασσιανή ουρανόθεν, απεθαύμαζον και χοϊκοί, σων δακρύων ρείθρα ευλαβώς έκραζον, σοι πρόβολε σεμνότητος, και ήθους ακραιφνούς τοιαύτα·

Χαίρε, η πλήρης αγάπης θείας·

χαίρε, ακρότης της εγκρατείας.

Χαίρε, της σοφίας δι’ έργων προτύπωσις·

χαίρε, της αξίας συνέσεως δήλωσις.

Χαίρε, ήδιστον μελώδημα, ισαγγέλου βιοτής·

χαίρε, πάμφωτον φρυκτώρημα, μετανοίας σωστικής.

Χαίρε, η παριδούσα χοϊκήν βασιλείαν·

χαίρε, η εκζητούσα Ουρανών Βασιλείαν.

Χαίρε, ακτίς μεθέξεως κρείττονος·

χαίρε, πυξίς ενθέου φρονήσεως.

Χαίρε, αμνάς εκλεκτή του Κυρίου·
χαίρε, ψεκάς δωρεών Παρακλήτου.

Χαίροις μήτερ υπέρλαμπρε.

Σ υ ν α ξ ά ρ ι ο ν

Τη Ζ' του αυτού μηνός, μνήμη της Οσίας Κασσιανής της Ποιητρίας.

Χρυσούν Κασιανή, ο Παντάναξ μήλον, επέδωκέ σοι Βασιλείας αγήρω.

Της Θεοτόκου. Ωδή ζ'. Ουκ ελάτρευσαν

Ιωακείμ τε και Άννα μακαρίζονται, αποκυήσαντες, την μακαρίαν σαφώς, αγνήν Θεομήτορα, Λόγον κυήσασαν, τον μακάριον, τον μακαρίους άπαντας, τους πιστούς αποτελούντα.

Δώρον τίμιον εκτήσαντό σε πάναγνε, οι σοι γεννήτορες, την συλλαβούσαν Θεόν, τον καταπλουτίσαντα, δωρεαίς κρείττοσι, τους κραυγάζοντας· ο των Πατέρων Κύριος, και Θεός ευλογητός ει.

Οι μαστοί σου υπέρ οίνον αγαθώτατοι, Άννα Θεόκλητε, ότι μαστοίς αγαθοίς, την τον αγαθώτατον Λόγον θηλάσασαν, συ εθήλασας, τον χορηγόν του γάλακτος, και πνοής τροφέα πάσης.

Σκίρτα κρούε την κινύραν σου θεόπνευστε, Δαυίδ και χόρευε· η κιβωτός γαρ ιδού, ην πάλαι προήγγειλας, εκ στειρευούσης γαστρός, προελήλυθε, τω βασιλεί της κτίσεως, και Θεώ τετηρημένη, υπάρχεις Πανάμωμε.

Της Οσίας. Ουκ ελάτρευσαν.

Νίκης κότινον αιωνιζούσης είληφας, παρά του Κτίσαντος, Κασσιανή Ιησού, τα γέρα του νέμοντος, αξίως άπασι, τοις προστρέχουσι, τη κραταιά πρεσβεία σου.

Οσιότητος κιθάρα παναρμόνιος, οφθείσα άπαντας, εις τους αιώνας πιστούς, ευφραίνεις ποιήμασι, μελιχρωτάτοις σου, και νοήμασι, Κασσιανή τοις θείοις σου, κατανύσσεις τας καρδίας.

Στύλε πάμφωτε, Κασσιανή χρηστότητος, ακτίσιν ήστραψας, σης διαυγούς βιοτής, διο και την ζόφωσιν, φιλαμαρτήμονος, βίου θλίψεων, και της σαρκός κινήσεων, ταις πρεσβείαις σου ελαύνεις.

Θεοτοκίον.

Ικετεύομεν, οι δουλοί Σου αείποτε, Σε Μητροπάρθενε, λύτρωσαι πάντας ημάς, δεινής κατακρίσεως, φθοράς στενώσεως, και νοσήματος, ψυχής άμφω και σώματος, ίνα μεγαλύνωμέν Σε.

Της Θεοτόκου. Ωδή η'. Παίδας ευαγείς

Κινήσωμεν γλώτταν υμνωδίας, το θείον γενέθλιον γεραίροντες, της τον υπερύμνητον, Λόγον και υπέρθεον, σωματωσάσης Πνεύματι, και ανακράξωμεν· τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε εις πάντας τους αιώνας.

Οι θείοι σκιρτήσατε Προφήται, τιμώντες Παρθένου το γενέθλιον· αύτη γαρ επλήρωσε, πάντα τα κηρύγματα, τον υφ' υμών δηλούμενον αποκυήσασα, Χριστόν τον του παντός Βασιλέα, ον υπερυψούμεν εις πάντας τους αιώνας.

Ρήξατε τα Όρη ευφροσύνην, απόστολοι Μάρτυρες χορεύσατε, όσιοι και Δίκαιοι, νυν αγαλλιάσθητε, τω γενεθλίω σήμερον της του Κυρίου Μητρός, τον Κύριον υμνείτε βοώντες, και υπερυψούτε εις πάντας τους αιώνας.

Ήνθησε το μήλον το ευώδες, το ρόδον το θείον πεφανέρωται, και κατευωδίασε, σήμερον τα πέρατα, και το δυσώδες έπαυσε, της αμαρτίας ημών, η Πάναγνος και Μήτηρ του Λόγου, ην υπερυψούμεν εις πάντας τους αιώνας.

Στειρεύουσα φύσις των ανθρώπων, σεπτών χαρισμάτων θείου Πνεύματος, σήμερον ευφράνθητι, στείρας την Θεόπαιδα, αποτεχθείσαν βλέπουσα και αναβόησον· τον Κύριον υμνείτε τα έργα, και υπερυψούτε εις πάντας τους αιώνας.

Της Οσίας. Παίδας ευαγείς.

Άμεμπτε ασκήτρια της πόρνης, θαυμάζουσα την μετάνοιαν ανέκραζες· δέξαι των δακρύων σου, τας πηγάς Φιλεύσπλαγχνε, ο της θαλάσσης ύδατα, νεφέλαις πάντοτε,Θεέ και Πλαστουργέ διεξάγων, και αξίωσόν με, τους σους φιλήσαι πόδας.

Νύκτα των παθών εξάλειψόν μου, πρεσβείαις σου Ικασία προς τον πάνσεπτον, Φωτοδότην Κύριον, και αυγήν ανάτειλον, τοις μετανοίας άπασι, τοις σε γεραίρουσι,και ύμνοις καταστέφουσι θείοις, την παμφαεστάτην, και πάντιμόν σου μνήμην.

Μέμνησο Κασσιών σε τιμώντων, ολβία Κασσιανή ως θείαν έφορον, αρωγόν ακέστορα, και εν βίου κλύδωσι, προστάτιν και τα δίκαια,

αυτών αιτήματα, προσάγαγε ταχύ σω Νυμφίω, τω ποθεινοτάτω, και των καλών δοτήρι.

Θεοτοκίον.

Έμψυχον παλάτιον Παρθένε, Αγνή Θεοτόκε του Παντάνακτος, νουν ημών καθάρισον, επικαλουμένων Σε, αεί δεινής φαυλότητος, και οίκους χάριτος, ανάδειξον της θείας καρδίας, των καταφευγόντων, τη κραταιά Σου σκέπη.

Της Θεοτόκου. Ωδή θ'. Άπας γηγενής

Ίδε του Θεού, ο τόπος ο άγιος προφανώς δέδεικται, πόλις η περίδοξος, του Βασιλέως ανωκοδόμηται, ο φωταυγής Παράδεισος, φαιδρώς εξήνθησε, Παραδείσου, πρόξενος υπάρχουσα, προς Θεόν τε ανθρώπων οικείωσις.

Ώφθη η λαμπάς, λυχνία τε σήμερον, η χρυσαυγίζουσα, φως το προαιώνιον, εν η οικήσαν, τους εν νυκτί των δεινών, καταφωτίσει παύσει τε, της αθεΐας αχλύν, και ημέρας, πάντας απεργάσεται, κοινωνούς αληθώς δια πίστεως.

Σήμερον η γη, χορεύει· τον νέον γαρ, ουρανόν έβλεψε, Θεού τον τερπνότατον, αποτεχθέντα· εν ω οικήσας σαρκί, των ουρανών επέκεινα, αναβιβάσει βροτούς, και θεώσει, πάντας αγαθότητι· ον υμνούντες πιστώς μεγαλύνομεν.

Η περικαλής, δυάς ανεβλάστησεν, Άννα και Ιωακείμ, δάμαλιν την άσπιλον, εξ ου ο μόσχος ο σιτευτός προελθών, υπέρ του κόσμου τέθυται, αίρων τα πταίσματα, των ανθρώπων, τας προσαγομένας τε, καταπαύων θυσίας τοις δαίμοσι.

Φώτισον ημάς, το φως η κυήσασα τους την φωσφόρον σου, γέννησιν εν Πνεύματι, Θεογεννήτορ πανηγυρίζοντας, και του φωτός του μέλλοντος, δείξον αγνή κοινωνούς,και ειρήνην, βράβευσον και λύτρωσιν, των δεινών μητρικαίς ικεσίαις σου.

Της Οσίας. Άπας γηγενής.

Λάμπουσα φωτί, αγνείας συνέσεως, και ταπεινώσεως, έδραμες προς Κύριον, τον σον Νυμφίον παρ' Ου απείληφας, τα γέρα των καμάτων σου, αμνάς πανάσπιλε, Τούτου στέμμα, αφθαρσίας πάγχρυσον, ευλαβές Ικασία πανένδοξε.

Πάντας προς ζωήν, κατεύθυνον άλυπον, τους ανυμνούντάς σου, πόνους της ασκήσεως, και τους σους ύμνους, ευτάκτως ψάλλοντας, τω Ποιητή και Κτίσαντι, ούσπερ συνέθεσας, επινεύσει, θεία πνευματέμφορε, μήτερ Κασσιανή αγγελόμορφε.

Ω Κασσιανή, τρωθείσα τω έρωτι, της αγαπήσεως, του Χριστού επίκηρον, ηρνήσω δόξαν, και τρυφηλότητα, διο σε εισωκίσατο, εις φωτεινότατον, ο Παντάναξ, θάλαμον και Κύριος, ο σεπτός και ωραίος Νυμφίος σου.

Θεοτοκίον.

Χάριτος πηγή, αείρρυτε Δέσποινα, ψυχής μου τραύματα, και ουλάς επούλωσον, διαυγεστάτοις, ευχών σου νάμασιν, η τον Χριστόν κυήσασα, αφράστως Πάναγνε, τον αφθόνως, βρύοντα τοις δούλοις Σου, σωτηρίας αείζωα νάματα

Εξαποστειλάριον. Γυναίκες ακουτίσθητε.

Του Θεοφίλου έρωτι, του άνακτος μη στέρξασα, ολοσχερώς τω Κυρίω, και σω Νυμφίω εδόθης, Κασσιανή και βήμασιν, Αυτού ακολουθήσασα, δια στερράς ασκήσεως, και μετανοίας εις ύψος, ήρθης ευκλείας αγήρω.

Θεοτοκίον. Προεόρτιον.

Ημέραν την γενέθλιον, εκθύμως εορτάζοντες, της Θεοτόκου Μαρίας, βροτών προστάτιδος θείας, και πανσθενούς ακέστορος, βοώμεν· Μητροπάρθενε, Ιωακείμ τοκέως Σου, και Άννης βλάστημα πέμψον, ημίν χαράν ουρανόθεν.

Αίνοι. Ήχος πλ. δ’ . Ω του παραδόξου θαύματος.

Μήτερ, παρθενίας έτυπον, Κασσιανή ευκλεές, πυρ Χριστού αγαπήσεως, ένδον εν καρδία σου, δεξαμένη τον έρωτα, του Θεοφίλου, σοφώς κατέλιπες, και ισαγγέλως,εν γη εβίωσας, όθεν συμμέτοχος, Βασιλείας κρείττονος εν ουρανοίς, και της υπέρ έννοιαν, χαράς ηξίωσαι.

Μήτερ, απαθείας σκήνωμα, Κασσιανή τιμαλφές, των παθών της συγχύσεως, νουν τον σον εκάθηρας, θείου Πνεύματος νάμασι, και ώφθης σκεύος, πολυτιμότατον, χαρίτων πλείστων, και ευωδέστατος, κήπος συνέσεως, και Χριστού υμνήσεως του Λυτρωτού, και σεπτού Νυμφίου σου, του Παντοκράτορος.

Μήτερ, αρετών θησαύρισμα, Κασσιανή εκλεκτή, ταπεινώσεως έρεισμα, και στερρόν κρηπίδωμα, της Χριστού αγαπήσεως, καταφιλήσαι, Χριστού επόθησας, τους θείους πόδας, και τοις

βοστρύχοις σου, ως πόρνη άλλοτε, αποσμήξαι πάντιμε της κεφαλής, εν λαμπροίς σκηνώμασιν, αιωνιότητος.

Μήτερ, νήσου Κάσσου καύχημα, Κασσιανή και σεπτόν, Εκκλησίας ωράϊσμα, εν σπηλαίοις ώκησας, ώσπερ όρνις φιλέρημος, και ανυμνούσα, ευήχοις άσμασι, Χριστόν καθάπερ, στρουθίον εύλαλον, την σην ετέλεσας, βιοτήν και έδραμες Αυτώ ταχύ, υπαντήσαι πάνσοφε, εν θείοις δώμασι.

Δόξα. Ήχος πλ. α᾽ .

Υμνωδία πρέπει σοι θεοτερπής και παναρμόνιος, μήτερ Κασσιανή υμνηπόλε πανένδοξε. Βασιλείας γαρ υπεριδούσα γηΐνην, Χριστώ ηξιώθης συμβασιλεύσαι, εν δόμοις Παραδείσου. Αυτόν ουν εκδυσώπει και ημάς αξιώσαι, των αιωνίων αγαθών εν τη ημέρα της Κρίσεως.

Και νυν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, και δοξάζομέν σε οι πιστοί κατά χρέος, την πόλιν την άσειστον, το τείχος, το άρρηκτον, την αρραγή προστασίαν, και καταφυγήν των ψυχών ημών.

Δοξολογία Μεγάλη και Απόλυσις.

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τα τυπικά, οι Μακαρισμοί, και εκ του Κανόνος της Οσίας, η γ καὶ στ  ᾠδή.

Απόστολος εις Οσίας γυναίκας (Γαλ. Γ , 23-29): Αδελφοί, προ του ελθείν την πίστιν, υπό νόμον εφρουρούμεθα…

Ευαγγέλιον ωσαύτως (Ματθ. κε , 1-13), ήτοι των Δέκα Παρθένων.

Κοινώνικον: Εις μνημόσυνον αιώνιον...

Μεγαλυνάριον.

Χαίροις θεοφόρε Κασσιανή, υμνηπόλων κλέος, και πυξίον ασκητριών, χαίροις βασιλείας, τρυφήν η παριδούσα, βροτείου δι' αγάπην, του Παντοκράτορος.

